Legrand, Bibl. Hell. XVIII, 1, σ. 193-194

**Βουβούλιος**

Νικόλαος

Εἰς τὸ ὑπὸ Legrand περιγραφόμενον ἔνθ' ἀνωτ. (ἀριθ. 156) βιβλίον:
«VITA LATINOGRÆCA S.P. BENEDICTI .... VENETIIS MDCCXXIII...»
δημοσιεύεται, κατ' αὐτόν, ἐπὶ τὸ φ. 4ον τὸ ἐπίγραμμα:

«Εἰς τὸν θεοσεβέστατον καὶ θεολογικώτατον πατέρα κὺρ Ἄγγελον Κυρῖνον, ἀββᾶν Κασινάτην· ὁ λόγος ἰθύνεται πρὸς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν τὸν μέγαν Βενέδικτον.

Ὦ πάτερ εὐλογίης ἐπώνυμε, ὄρχαμος οὔρευς
Κασσίνοιο, καλῶν μοναδικοῖο βίου·
ἠγόθεν οἱ ναίεις λάτρην σέθεν Ἄγγελον ἄθρει
σεμνὸν ἐόντα νόῳ ἤθεσι σεμνότατον,

./.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ὅς βιοτὴν ζαθέην καὶ ἰσάγγελα ἔργματα σεῖο
σοῖς ὁσίοις τέκνοις ἀρχέτυπον θέμενος,
ἐς φάος ὠγενίας δέλτους φέρε πολλὰ μογήσας,
λήθης εὖτ' ὀμίχλῃ ἀμφεκάλυπτε νέφος,
ἔξοχα δ' ἀμφοτέρης δεδαὼς ἰδιώματα γλώσσης,
ἐν σκοτίῃ τὰ πάρος κείμενα νῦν γανόει.
Τῶς οὖν σεῖο πάϊς περιώνυμος ἄξιος ἔσται
καὶ πατρὸς αἰώνων κρείσσονος εὐλογίης.

Εἰλικρινοῦς εὐλαβείας προσφώνημα
τοῦ ταπεινοῦ καὶ διὰ πολλοῦ ἐν κλίνῃ ἀσθενοῦντος
Νικολάου Βουβουλίου ἰατροσοφιστοῦ.

Κατὰ Legrand ὁ Νικόλαος Βουβούλιος ἐπεμελήθη τῆς ἐντυπώσεως τοῦ βιβλίου.